δειρήν τ᾽ ἠδὲ δέμας τ᾽· ἐκ δ᾽ ὠτειλῆς ῥέει αἷμα·
κεῖται ἐπιχθονίῃ δὲ μάλ᾽ ἔμπεδον· ὡς ἄρ᾽ ἐκείμην
ἐκταδὸν ἐν κονίῃσι νεκρῷ ἐναλίγγιος ἄντην,
τοίχῳ ἐρεισάμενος κάρη ὦμόν θ᾽, εἵματα λύθρῳ
ὦπα τ᾽ ἀεικελίως πεπαλαγμένος· οἷα τ᾽ ἔειπαν
οἵ μ᾽ ὀλιγηπελέοντα τόφρ᾽ ἔδρακον· ἔτι δ᾽ ἐγῷδα
οἷα τυπῇσι λίην δεδμημένος· οἳ παρεόντες
ἀγχιθανῆ μ᾽ ἀνάειραν ἐπὶ κλιντῆρί τε θέντο
μέσφ᾽ ἀλλοφρονέοντα μέσην διὰ νύκτα κελαινήν·
οἶδος δ᾽ ἐξαπίνης ὑπανίςατο δεινὸν ἰδέσθαι
δεξιτερῷ κροτάφῳ μευ ἰδ᾽ ὤμῳ, ςήθεσι λαιοῖς,
ἀλγινόεν χροιῇ τε μελάντατον. ὡς ἄρα δεινὸν
Ἵππου ἔσχε βίη τ᾽, ἀτεράμνου τύμματε τοίχου.

B: Ἀλλ᾽ ὅτε μ᾽ ἀμφεπένοντο ἀκεύμενοι ἕλκεα λυγρὰ,
ἀμφίδεον σπείροις τ᾽, ἐπὶ δ᾽ ἤπια φάρμακα χεῦαν,
αἶψα τότ᾽ ἀργαλέως τείρουσά με λάζετο νοῦσος·
ἥ ῥά με καὶ πρότριτα, χθιζή δ᾽ ἔπι πλεῖον ἔτειρεν,
οὐλομένη· τή μ᾽ ἄγχι πύλαις ἀΐδαο πέλασσε.
πῦρ με γὰρ ἀζηχὲς λάβ᾽ ὀλώϊον ἀλγινόεν τε (α)
ξυνὸν ὅγ᾽ ἐνναέτησιν ἐπέχραε παμπολέεσσι,
τὸ, πρόπαλ᾽ Ἱπποκράτης αὐδάξατο Ἡμιτριταῖον (β)
αἰὲν ὑπαὶ κύνα δεινὸν ἐὸν δειλοῖσι βροτοῖσι (γ),
μίμνον ἐς ἀρκτοῦρόν τε διαμπερὲς ἦματ᾽ ὀπώρης (δ).

τοῦδ᾽

(α) Ἱπποκρ. ἐπιδ. Α. β. γ. (β) ἐπιδημ. Α. α. (γ) ἐπιδημ. Α. γ. (δ) ἐπιδημ. Ζ. μη. Γαλην. περὶ διαφορ. πυρετ. Β. β.